Στ. Ταῦτ' ἄρα, ταῦτα Κλεώνυμον αὗται τὸν ῥίψασπιν χθὲς ἰδοῦσαι A
Ὅτι δειλότατον τοῦτον ἑώρων, ἔλαφοι διὰ τοῦτ' ἐγένοντο.
Σω. Καὶ νῦν ὅτι Κλεισθένη εἶδον, ὁρᾷς, διὰ τοῦτ' ἐγένοντο γυναῖκες.
Στ. Χαίρετε τοίνυν γ' ὦ δέσποιναι. καὶ νῦν εἴπερ τινὶ κἄλλῳ,
Οὐρανομήκη ῥήξατε κἀμοὶ φωνὴν, ὦ παμβασίλειαι. B

ST. *Hoc illud erat, quod viſo heri Cleonymo, inermi & fugitiuo,*
Cùm timidißimum eum aſpicerent: ceruorum ſpeciem aßimulârunt.
SO. *Et nunc, quia viderunt Cliſthenem, ideò factæ ſunt mulieres.*
ST. *Saluete ergo ô Dominæ, ô reginæ ſaluete omni potentes:*
Et ſi cui vnquam alij, mihi cælos feriētem rumpite vocem.

Σχόλια. Κλεώνυμον.] τοῦτον ὡς δειλὸν καὶ ἐπὶ τῷ παρατάξεως ῥίψαντα τὴν ἀσπίδα, οἵ τε ἄλλοι κωμῳδοὶ διαβάλλουσι πάντες. καὶ ἐν τοῖς Σφηξὶν ὁ αὐτός. ὡς δειλὸς δὲ ἐν πολλοῖς κωμῳδεῖται. τὸ δὲ ἐχθὲς προσέθηκεν. ὡς ὑπόγυον τοῦ Κλεωνύμου ῥιψάσπιδος γεγενημένου, τῷ καιρῷ χρώμενος εἰς αἰσχύνην τοῦ δεδρακότος. πλείονα γὰρ τὴν συμφορὰν τὰ πλάσματα ἔχει τὰ ὑπόγυα. C Καὶ νῦν ὅτι Κλεισθένη.] καὶ νῦν φησι διὰ τὸ Κλεισθένη ἐγένοντο γυναῖκες. οὗτος δὲ ἐπὶ κιναιδείᾳ διαβάλλεται. τοῦτον δὲ ὡς γυναικιζόμενον οὐκ Ἀριστοφάνης διαβάλλει μόνον, ἀλλὰ καὶ Κρατῖνος ἐν Πυτίνῃ, λέγων οὕτως. ληρεῖς ἔχων. καὶ καθ' αὑτὸς ἐν ἐπεισοδίῳ. γελοῖος ἔσται Κλεισθένη κυβεύων ἐν τῇ τοῦ κάλλους ἀκμῇ. τοῦτον ἰδοῦσαί φησιν αἱ Νεφέλαι, εἰς γυναῖκας μετεμόρφωσαν ἑαυτάς.

ΣΥΣΤΗΜΑ ΚΑΤΑ ΠΕΡΙΚΟΠΗΝ ΣΤΙΧΩΝ
ϛʹ.

Χο. Χαῖρ' ὦ πρεσβῦτα παλαιογενὲς, θηρατὰ λόγων φιλομούσων. D
Σύ τε λεπτοτάτων λήρων ἱερεῦ, φράζε πρὸς ἡμᾶς ὅ,τι χρῄζεις.
Οὐ γὰρ ἂν ἄλλῳ γ' ὑπακούσωμεν τῶν νῦν μετεωροσοφιστῶν.
Πλὴν ἢ Προδίκῳ. τῷ μὲν, σοφίας καὶ γνώμης οὕνεκα. σοὶ δὲ,
Ὅτι βρενθύει τ' ἐν ταῖσιν ὁδοῖς, καὶ τὠφθαλμὼ παραβάλλει, E
Κἀνυπόδητος κακὰ πόλλ' ἀνέχει. κἀφ' ἡμῖν σεμνοπροσωπεῖς.

CONGERIES SEX VERSVVM PER INCISIOnem.

CH. *Salue nunc olim nate ſenex, ô ſermonum ſapientum*
Venator: túque ſacerdos nugarum ſubtilium, ehodum
Dic, quid nos deinde velis: neque enim cuiquam alteri in vrbe hac
Rerum cæleſtium indagatori, morem ita ritè geramus,
Niſi fortè Prodico: huic, propter conſilium & doctum ingenium eius:
Tibi verò, quòd elatè hic incedis, circumferſq́; oculos: &
Diſcalceatus mala multa pateris, & in nos ore ſeuero es.

Σχ. Χαῖρ' ὦ πρεσβῦτα.] νῦν οὐχ ὡς σεμνόν τινα προσηγόρευσαν διὰ τὸν χρόνον, ἀλλ' ἀνόητον, τοὺς γὰρ δῆθεν ἀρχαίους, καὶ παλαιοὺς, πρεσβύτας ἔλεγον. Θηρατά.] ἀντὶ τοῦ ἰχνευτὰ λόγων ἢ ζηλωτὰ ἢ μετιὼν λόγους. F Ὅτι χρῄζεις.] ὅτι βούλοιο. Σωκράτει δὲ λέγουσι, τὸ δὲ λεπτοτάτων λήρων, ἀντὶ τοῦ συνετωτάτων. καὶ δυσπαρακολουθήτων λόγων. Πλὴν ἢ Προδίκῳ.] οὕτως ἡ ἀκολουθία εἶχε τοῦ λόγου. πλὴν ἢ Προδίκῳ καὶ σοί. ὁ δὲ ἄλλως τὸν λόγον ἐσχημάτισε τὸ μὲν σοὶ κατὰ ἀρχὰς οὐκ εἰπὼν, ἔπειτα δὲ ἐπενεγκών. μέμνηται δὲ νῦν τοῦ Προδίκου διασύρων ὅτι μεγίστην δόξαν εἶχε περὶ αὐτοῦ, ὡς ὑπὲρ πάντας ὢν τῇ σοφίᾳ. σοφιστὴς δὲ ἦν ὁ Πρόδικος Χῖος τὸ γένος. ἤκμασε δὲ κατὰ τοὺς χρόνους Σωκράτους. πρῶτος δὲ οὗτος τὸν πεντηκοντάδραχμον ἐπίδειξιν ἐποιήσατο. G μνημονεύει δὲ αὐτοῦ Πλάτων ἐν τῷ Πρωταγόρᾳ. καὶ Ξενοφῶν ἐν τοῖς ἀπομνημονεύμασιν, οὐ μὴν ἀλλὰ καὶ Ἀριστοφάνης ἐν Ταγηνισταῖς. τὸν ἄνδρα τοῦτον ἢ βιβλίον διέφθειρεν ἢ Πρόδικος, ἢ τῶν ἀδολεσχῶν εἷς γέ τις. διαβάλλει δὲ αὐτὸν καὶ ἐν Ὄρνισιν οὕτω. παρ' ἐμοῦ Προδίκῳ κλάειν εἴπητε τὸ λοιπόν. διδάσκαλος δὲ ἦν οὗτος τοῦ ἐπικαλουμένου Κοθόρνου, ὃς τῆς τῶν τριάκοντα τυραννίδος συμμετέσχεν. Κόθορνος δὲ ἐκαλεῖτο, ἐπεὶ καὶ τοῖς τριάκοντα συνέσπευδε, καὶ πλάττει τὸν Ἡρακλέα τῇ ἀρετῇ καὶ τῇ κακίᾳ συντυγχάνοντα, καὶ καλουσῶν ἑκατέρων ἐπὶ τὰ ἤθη αὐτῶν, προκλῖναι τὴν ἀρετὴν τὸν Ἡρακλέα. καὶ τοὺς ἐκείνης ἱδρῶτας προκρῖναι τῶν προσκαίρων τῆς κακίας ἡδονῶν. ἄλλως. ἐπικαθαιρέσει Σωκράτους τὸν Πρόδικον νῦν μέγαν ἀποφαίνει διαφερόντως. οὗτος δὲ σοφιστὴς ἦν μετεωρολόγος. ἐπὶ κιναιδίᾳ δὲ διεβάλλετο. Βρενθύει.] ἀποσεμνύνεις σεαυτὸν ἐν τῷ σχήματι καὶ ταυρηδὸν ὁρᾷς.

BISETVS. Βρενθύει.] Εὐστάθιος. βρενθύεσθαι, κατατρυφᾶν ἀλαζονικῶς. παρὰ τὸ βρένθος, ὃ τὴν ἀλαζονείαν δηλοῖ.

Σχόλια. Καὶ τὠφθαλμώ.] ἀπὸ τῶν ὀφθαλμῶν σεμνὴν τὴν ὄψιν ἔχεις. εἰσὶ γὰρ ἀνθρώπων τινὲς τοιοῦτοι σεμνοὶ μὲν φαντῶσι, οὐ κατὰ τὴν ὄψιν δὲ ἔχοντες καὶ τὰ ἐπιτηδεύματα. οὕτω δὲ ἐβάδιζε Σωκράτης καὶ Πλάτων. ἄλλως. σεμνύνῃ καὶ μέγα φρονεῖς. οἱ γὰρ ἐπιδεδωκότες αὑτοῖς, σοβαρῶς πεφύκασι βαδίζειν. ὡς τοῦ μὲν Προδίκου ὄντος σοφοῦ. τοῦ δὲ Σωκράτους κενὴν μόνον ἐπὶ σοφίᾳ δόξαν καρπουμένου.